ΤΕΥ. ἐγὼ δέ γ' ἄνδρ' ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κᾆτ' αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ
ὀργήν θ' ὅμοιος εἶπε τοιοῦτον λόγον,
Ἄνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακά·
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.
τοιαῦτ' ἄνολβον ἄνδρ' ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ' ἄλλος ἢ σύ. μῶν ᾐνιξάμην;

ΜΕ. ἄπειμι· καὶ γὰρ αἰσχρὸν, εἰ πύθοιτό τις,
λόγοις κολάζειν ᾧ βιάζεσθαι παρῇ.

ΤΕΥ. ἄφερπέ νυν· κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ' ἔπη μυθουμένου.

ΧΟ. ἔσται μεγάλης ἔριδός τις ἀγών.
ἀλλ' ὡς δύνασαι, Τεῦκρε, ταχύνας
σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν
τῷδ', ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὐρώεντα καθέξει.

1145. *κρυφεὶς* L. *κρυβεὶς* al. Forma *κρυφθεὶς* plerumque utuntur Tragici. Recentior forma est *κρυβεὶς*, *κρυβήσονται* (*κρυφ.*?) autem dixit Euripides. 1154. *κακῶς* mss. Nonne *κακά*?

1156. *ἄνολβον*] Qu. *ἄβουλον*, i. e. *ἄφρονα*.

1157. *κἄστιν*] Qu. *κἄστι γ'*.

1160. *παρῇ* (*πάρα* a m. rec.) L. 1161. *ἄφερπε νῦν* L.

1165. *κοίλην κάπετόν τιν' ἰδεῖν* mss. *κοίλην εὑρεῖν κάπετον* conj. Nauck. Pro *τιν' ἰδεῖν* qu. *ποιεῖν*. *ἰδεῖν*] Angl. to look out for, to find. Cf. Theocr. 15, 2. *ὅρη δίφρον, Εὐνόα, αὐτῇ*.

1166. *βροτοῖς τὸν ἀείμνηστον* mss. Qu. *βροτοῖσιν —*. Offendit enim articulus. Sed displiceret caesurae omissio.

1167. *εὐρώεντα* mss. Sentum. Anglice dank, murky. Nauckio suspectum. Qu. *εἰς αἰῶνα*. Cf. Hom. Od. 10, 512. *'Αΐδεω δόμον | εὐρώεντα*. Hesiod. Op. 152. Hom. H. Cer. 482. *αἶσαν ἔχει φθίμενός περ' ὑπὸ ζόφῳ εὐρώεντι*.

ΤΕΥ. καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίοι
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνή,
τάφον περιστελοῦντε δυστήνου νεκροῦ.
ὦ παῖ, πρόσελθε δεῦρο καὶ σταθεὶς πέλας
ἱκέτης ἔφαψαι πατρὸς ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος ἐν χεροῖν ἔχων
κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονός,
γένους ἅπαντος ῥίζαν ἐξημημένος
αὔτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
ἔχ' αὐτόν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς δὲ μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας
παρέστατ', ἀλλ' ἀρήγετ' ἔστ' ἐγὼ μολὼν
τάφου μεληθῶ τῷδε, κἂν μηδεὶς ἐᾷ.

στροφὴ α'.

ΧΟ. τίς ἄρα νέατος, ἐς πότε λήξει, πολυπλάγκτων
ἐτέων ἀριθμὸς
τὰν ἄπαυστον αἰὲν ἐμοὶ δορυσσόων
μόχθων ἄταν ἐπάγων

1168. *πλησίοι* L. *πλησίον* al. Cf. El. 640. *παρούσης τῆσδε πλησίας ἐμοί.* Tr. 896. 889. et ad O. C. 58.

1179. *αὔτως* (sic) L. Quam formam probat Dind. in Lex. Soph. p. 75. I. q. *ὡσαύτως.* Vox praecipue epica. Cf. ad O. R. 931. Ant. 85. 715. Tr. 1040.

1183. *ἔς τ'* mss. Addito *ἂν* El. 105. *ἔς τ' ἂν — ἄστρων ῥιπὰς λεύσσω.* Qu. *ἕως —.* Cf. Ph. 764. *ἕως ἀνῇ τὸ πῆμα.* O. C. 77. *ἕως ἐγὼ λέξω.* Aj. 555. *ἕως — μάθῃς.* Tr. 148. *ἕως τις — κληθῇ.* Alibi *ἕως ἄν.* *κἂν*] Scribendum me judice semper *κἤν* (*καὶ ἤν*).

1184. Construe *τίς ἀριθμὸς λήξει νέατος* (i. e. *ὥστε γενέσθαι νέατος*). Ita etiam Schneid. Sensus est, 'Quis postremus annus servitutis hujus tristis erit?'

1185. *πολυπλάγκτων ἐτέων*] Poetice positum pro *πολλῶν ἐτέων.* Cf. ad O. C. 17. *πυκνόπτεροι — ἀηδόνες.*

1188. *δορυσσοήτων* mss. *δορυσσόων* Bl. I. q. *δορυσσόων.* Cf. Eur. Her. 774. et ad O. R. 1313.

ἂν τὰν εὐρυεδῆ Τροίαν,
δύστανον ὄνειδος Ἑλλάνων;

ἀντιστροφὴ α΄.

ὄφελε πρότερον αἰθέρα δῦναι μέγαν ἢ τὸν
πολύκοινον Ἅιδαν
κεῖνος ἀνὴρ ὃς στυγερῶν ἔτευξ᾽ ὅπλων
Ἕλλασιν κοινὸν Ἄρη·
ὦ μόχθοι πρόγονοι μόχθων·
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.

στροφὴ β΄.

κεῖνος οὔτε στεφάνων
οὔτε βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον,
δύσμορος, οὔτ᾽ ἐννυχίαν
τέρψιν ἰαύειν·
ἐρώτων δ᾽ ἐρώτων ἀπέπαυσέ μ᾽, ὤμοι·
κεῖμαι δ᾽ ἀμέριμνος οὕτως,
ἀεὶ πυκιναῖς δρόσοις

1190. *ἀνὰ τὰν εὐρώδη Τροίαν* mss. *ἂν τὰν εὐρώδεα Τρωΐαν* Wund. *ἂν τὰν εὐρυεδῆ* — Bl. *ἀν᾽ εὐρώδη Τροΐαν* Dind. *ἀνὰ χθόν᾽ εὐρυεδῆ Τροίας* Bl. Qu. *ἂν τὰν εὐρυέδη* (Simonid. 8, 17.) *Τροίαν.* Cf. ad v. ant. 1197. Offendit *εὐρώδη*, quod vix ab *εὐρύς* derivari potest. *Τροίαν* mss. *Τρωΐαν* Pal., quum hanc formam postulet metrum. V. etiam Cobet. Misc. Crit. p. 253.

1192. *ὤφελε* L. *ὄφελε* cet.

1194. *ἀνὴρ* mss.

1195. *ἔδειξ᾽* mss. *ἔτευξ᾽* F. W. Schmidt., coll. Hom. Od. 24, 476. *ἢ προτέρω πόλεμόν τε κακὸν καὶ? φύλοπιν αἰνὴν | τεύξεις.* Eur. Andr. 644. *μὴ φίλοις τεύχειν ἔριν.* Aesch. Pers. 189. *στάσιν τεύχειν.* Cho. 730. Eum. 125. Anth. Pal. XI. 183. 5.

1197. *πόνοι πρόγονοι πόνων* mss. *πόνοι πρόγονοι* Dind. Schol. *ἀρχηγοὶ τῶν πόνων.* Qu. *ὦ μόχθοι πρόγονοι μόχθων.* et in v. str. 1190. *ἂν τὰν εὐρυεδῆ Τροίαν.*

1199. *ἐκεῖνος* mss. *ἢ κεῖνος* Hense.

1206. *ἀπέπαυσεν* mss. Dedi *ἀπέπαυσέ μ᾽.*

τεγγόμενος κόμας,
λυγρὰ μνήματα Τροίας.

ἀντιστροφὴ β'.

πρὶν μὲν αἰὲν νυχίου
δείματος ἦν μοι προβολὰ
καὶ βελέων θούριος Αἴας,
νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
δαίμονι. τίς μοι τίς ἄρ' οὖν
τέρψις ἔτ' ἔσται;
γενοίμαν ἵν' ὑλᾶεν ἔπεστι πόντου
πρόβλημ' ἀλίκλυστον, ἄκραν
ὑπὲρ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως
προσείποιμεν Ἀθάνας.

ΤΕΥ. *καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην*
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον·
δῆλος δέ μοὐστὶ σκαιὸν ἐκλύσων στόμα.

1209. *κόμας* mss. *δέμας* malit Naber non obstante. Aesch. Ag. 561. *δρόσοι* (*ὄμβροι*?) — *τιθέντες ἔνθηρον τρίχα.*

1210. *μνήματα*] Per appositionem ad integram sententiam illatum.

1211. *καὶ πρὶν μὲν* mss. *πρὶν μὲν* — Tricl. Qu. *καὶ πρόσθε μὲν κἀννυχίου* —. *ἐννυχίου* mss. (*ἐξ*) *ἐννυχίου* Dind. *αἰὲν νυχίου* Wolff. Muff. Recte.

1214. *ἀνεῖται στυγερῷ δαίμονι*] Cf. Ph. 1153. *ἀνέδην ὅδε χῶρος ἐρύκεται* (?). *ἀνεῖται* L. *ἄγκειται, ἔγκειται* al. *ἀνάκειται* conj. Nauck.

1215. *ἔτ' οὖν* mss. Fortasse vitiosum.

1216. *ἐπέσται* mss. Vix sanum, quum proxime sequatur *ἔπεστι.* Correxi olim *ἔτ' ἔσται.*

1217. *πόντου* mss. Nonne *πόντῳ*?

1218. *γενοίμαν* — *ὅπως προσείποιμεν*] Cf. Arist. Av. 1337. *γενοίμαν αἰετὸς ὑψιπέτας, ὡς ἂν ποταθείην* (l. *ἀμποταθείην*) *ὑπὲρ ἀτρυγέτου.* Eur. Hipp. 732. *ἠλιβάτοις ὑπὸ κευθμῶσι γενοίμαν, ἵνα με* — *ὄρνιν θεὸς* — *θείη.*

1219. *πρόβλημ'*] I. q. *προβλής* Ph. 936.

1220. *ὑπὸ πλάκα* mss. Correxi *ὑπὲρ πλάκα.*

1225. *μοι 'στὶ* (*μοἰστὶ* L.) mss. *μοὐστὶ* Herm.

ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν·
σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω.
ἦ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ὕπο
ὑψήλ' ἐκόμπεις κἀπ' ἄκρων ὡδοιπόρεις,
ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ,
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς Ἀχαιῶν οὐδὲ σοῦ διωμόσω,
ἀλλ' αὐτὸς ἄρχων, ὡς σὺ φής, Αἴας ἔπλει.
ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ' ὑπέρφρονα;
ποῖ βάντος ἢ ποῦ στάντος οὗπερ οὐκ ἐγώ;
οὐκ ἆρ' Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων

1226. σὲ δὴ mss. Qu. σέ τοι. Cf. ad Ant. 443.

1227. ἀνοιμωκτεὶ L. et Eust. p. 723, 28. ἀνοιμωκτὶ cet. Offendit ultimae syllabae productio. Cf. ad O. C. 1646. ἀστενακτί. Qu. ἀνοίμωκτον. Cf. O. C. 1663. οὐ στενακτός (non ingemiscens). Sed fortasse vitiosum est ἀνοιμωκτὶ, pro quo adverbium aliquod 'impune' (ἀνατὶ) significans reponi debet, quanquam hoc fortasse significare potest ἀνοιμωκτί. χανεῖν] λακεῖν conj. Nauck.

1228. αἰχμαλώτιδος (sic) L.

1229. ἄπο mss. ὕπο recte Naber. Cf. ad 1078.

1230. ἐφρόνεις L. pr. ἐφώνεις a m. rec. ἐφρόνεις etiam Suid. s. v. ὑψηλοτέρας. ἐφώνεις aut ἐφρόνεις cet. γρ. ἐκόμπεις unus ms. et sic schol. Arist. Ach. 638. probat Dind. in Lex. Soph. Qu. ὑψηλά τ' ἐφρόνεις. Cf. Adesp. 127. φρονεῖτε νῦν αἰθέρος ὑψηλότερον. Eur. Iph. A. 919. ὑψηλόφρων θυμός. Verum videtur ἐκόμπεις. Cf. 770. τοσόνδ' ἐκόμπει μῦθον.

1233. οὔτε mss. οὐδὲ Bl. διωμόσω (γρ. διωρίσω ab S.) L.

1235. μεγάλα mss. δεινὰ conj. Nauck. Recte, opinor.

1236. ποῦ L. al.? ποῖ al. Recte. ποίου κέκραγας ἀνδρὸς] De genitivo cf. Ph. 439. Tr. 928.

1237. ποῦ βαντὸς L. et vulg. ποῖ βαντὸς al. Cf. Ph. 833. ὅρα ποῦ στάσει, ποῖ δὲ βάσει. Eur. Alc. 863. ποῖ βῶ; πᾶ στῶ; Hec. 1057. 1079.

1238. ἆρ'] ἄρ' L.

ἀγῶνας Ἀργείοισι κηρῦξαι τότε,
εἰ πανταχοῦ φανούμεϑ' ἐκ Τεύκρου κακοὶ
κοὐκ ἀρκέσει ποϑ' ὑμὶν οὐδ' ἡσσημένοις
εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριτῶν,
ἀλλ' αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που
ἢ σὺν δόλῳ κεντήσεϑ' οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωϑήσομεν
καὶ τοὺς ὄπισϑεν ἐς τὸ πρόσϑεν ἄξομεν.
ἀλλ' εἰρκτέον τάδ' ἐστίν· οὐ γὰρ οἱ πλατεῖς
οἵ τ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρϑὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ' ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ', εἰ μὴ νοῦν κατακτήσει τινά,
ὃς ἀνδρὸς οὐκέτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς,
ϑαρσῶν ὑβρίζεις κἀξελευϑεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαϑὼν ὃς εἶ φύσιν
ἄλλον τιν' ἄξεις ἄνδρα δεῦρ' ἐλεύϑερον,
ὅστις πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σά;
σοῦ γὰρ λέγοντος οὐκέτ' ἂν μάϑοιμ' ἐγώ·
τὴν βάρβαρον γὰρ γλῶσσαν οὐκ ἐπαΐω.
ΧΟ. *εἴϑ' ὑμὶν ἀμφοῖν νοῦς γένοιτο σωφρονεῖν·*
τούτου γὰρ οὐδὲν σφῷν ἔχω λῷον φράσαι.
ΤΕΥ. *φεῦ, τοῦ ϑανόντος ὡς ταχεῖά τις βροτοῖς*
χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται,

1241. *πανταχοῦ* mss. Qu. *πανταχῇ*. Cf. ad 634. 1369.

1243. *κριταῖς* mss. Nonne *κριτῶν*? Cf. 682. *τοῖς πολλοῖσι — βροτῶν*.

1249. *εἰς* mss. *ἐς* Br.

1251. *οὐδ' εὐρύνωτοι* mss. Correxi *οἵ τ'* —.

1256. *εἰ μὴ νοῦν κατακτήσει*] Cf. Tr. 736. *λῴους φρένας — τῶνδ' ἀμείψασϑαί ποϑεν*.

1257. *ἀνδρὸς οὐκέτ' ὄντος*] Genitivus absolutus, ut videtur. Cf. tamen 1236.

εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ' ἐπὶ σμικρὸν λόγον,
Αἴας, ἔτ' ἴσχει μνῆστιν, οὗ σὺ πολλάκις
τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δόρει,
ἀλλ' οἴχεται δὴ πάντα ταῦτ' ἐρριμμένα.
ὦ πολλὰ λέξας ἄρτι κἀνόητ' ἔπη,
οὐ μνημονεύεις οὐκέτ' οὐδὲν ἡνίκα
ἑρκέων ποθ' ὑμᾶς οὗτος ἐγκεκλῃμένους,
ἤδη τὸ μηδὲν ὄντας, ἐν τροπῇ δορὸς
ἐρρύσατ' ἐλθὼν μοῦνος, ἀμφὶ μὲν νεῶν
ἄκροισιν ἤδη ναυτικοῖς θ' ἑδωλίοις
πυρὸς φλέγοντος, ἐς δὲ ναυτικὰ σκάφη
πηδῶντος ἄρδην Ἕκτορος τάφρων ὕπερ;
τίς ταῦτ' ἀπεῖρξεν; οὐχ ὅδ' ἦν ὁ δρῶν τάδε,
ὃν οὐδαμοῦ φῄς οὐδὲ συμβῆναι ποδί;
ἆμ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἢ δίχα;
χὤτ' αὖθις οὗτος Ἕκτορος μόνος μόνου,
λαχών τε κἀκέλευστος, ἦλθ' ἐναντίος,
οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθεὶς,
ὑγρᾶς ἀρούρας βῶλον, ἀλλ' ὃς εὐλόφου

1268. *ἀνὴρ* mss. *ἐπὶ σμικρῶν λόγων* mss. *ἐπὶ σμικρῷ λόγῳ* Wund. Malim *ἐπὶ σμικρὸν λόγον*. Cf. O. C. 453. *ἔπος σμικρόν*. El. 414. *οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι*.

1269. *οὗ*] Construendum cum *προὔκαμες*.

1270. *δορί* mss. *δόρει* Dind. In pugna.

1272. *κἀνόητ'* plerique mss. Pal. *κἀνόητ'* (*νη* sup. a m. rec.) L. *κἀνόνητ'* al. Cf. ad 758.

1274. *ἑρκέων — ἐγκεκλῃμένους*] Cf. O. R. 236. Eur. Ph. 451. *τόνδ' εἰσεδέξω τειχέων*. *ἐγκεκλειμένους* mss. *ἐγκεκλῃμένους* Elmsl. Qu. *ἐντὸς εἱργμένους*. *οὗτος*] *ἐντὸς* suggerit Pal. Sed omitti vix potest *οὗτος*.

1277. *ναυτικοῖς* mss. *ναυτικοῖς* (*θ'*) Both.

1278. *εἰς* mss. *ἐς* Dind.

1281. *οὐδὲ συμβῆναι* mss. *σοῦ δίχ' ἐμβῆναι* Weckl.] Nauckio suspectum. Fort. *συμβῆναί ποτε*.

1282. *ὑμὶν*] Anglice in your opinion. Cf. 1363. *ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους*.

1283. *αὐτὸς* mss. *αὔτὸς* G. Wolff. Dedi *οὗτος*. Cf. 1282.

κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν;
ὅδ' ἦν ὁ πράσσων ταῦτα, σὺν δ' ἐγὼ παρὼν
ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγώς.
δύστηνε, ποῖ βλέπων τοιαῦτα καὶ θροεῖς;
οὐκ οἶσθα σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ
ἀρχαῖον ὄντα Πέλοπα βάρβαρον Φρύγα;
Ἀτρέα δ', ὃς αὖ σ' ἔσπειρε, δυσσεβέστατον,
προθέντ' ἀδελφῷ δεῖπνον οἰκείων τέκνων;
αὐτὸς δὲ μητρὸς ἐξέφυς Κρήσσης, ἐφ' ᾗ
λαβὼν ἐπακτὸν ἄνδρ' ὁ φιτύσας πατὴρ
ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.
τοιοῦτος ὢν σὺ τῷδ' ὀνειδίζεις σποράν;
ὃς ἐκ πατρὸς μέν εἰμι Τελαμῶνος γεγώς,
ὅστις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας ἐμὴν
ἴσχει ξύνευνον μητέρ', ἣ φύσει μὲν ἦν
βασίλεια Λαομέδοντος, ἔκκριτον δέ νιν
δώρημ' ἐκείνῳ 'δωκεν Ἀλκμήνης γόνος.
ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος;
οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους
ὠθεῖς ἀθάπτους οὐδ' ἐπαισχύνει 'γγελῶν.
εὖ νυν τόδ' ἴσθι· τοῦτον εἰ βαλεῖτέ που,

1287. *κυνῆς*] Ex galea. Qu. *εὐλόφου* (*'κ*) *κυνῆς* —. Non enim video quomodo defendi queat genitivus.

1290. *ποτ' αὐτὰ* mss. *τοιαῦτα* Madvig. Recte, opinor.

1297. Qu. *ἐφῆκεν αὐτὴν ἰχθύσιν μυνδοῖς βοράν.* Requiritur pronomen *αὐτήν*. *ἐφῆκεν*] Cf. 495.

1298. *τοιῷδ'* mss. *τοιάνδ'* al. Linwood. Dedi *σὺ τῷδ'*. *τοιῷδ' ὀνειδίζεις* mss. Qu. *τῷδ' ἐξονειδίζεις*. Cf. El. 288. *τοιάδ' ἐξονειδίζει κακά.* O. C. 990. *φόνους πατρῴους ἐξονειδίζων πικρῶς.* Ph. 382.

1300 sq. Cf. 435. *τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας* (Telamon).

1303. *δώρημα κείνῳ* (aut *'κείνῳ*) mss. *δώρημ' ἐκείνῳ* Br. Cf. Tr, 603. *'Αλκμήνης γόνος*] Nonne *ἀλκμήνης γόνος*?

1304. *ἄριστος* mss. *ἀριστεὺς* frustra Porson.

1307. *λέγων* mss. 'At giving the order'. (Pal.) Alii 'at avowing it' explicant. Ipse Erfurdtii correctionem *ψέγων* recepi. Qu. *'γγελῶν*. Cf. ad Arist. Vesp. 795.

1308. *νῦν* (sic) L. *που* mss. Qu. *ποῖ*.

βαλεῖτε χἠμᾶς τρεῖς ὁμοῦ συγκειμένους.
ἐπεὶ καλόν μοι τοῦδ' ὕπερ πονουμένῳ
θανεῖν προδήλως μᾶλλον ἢ τῆς σῆς ὕπερ
γυναικός, ἢ σοῦ τοῦ θ' ὁμαίμονος λέγω;
πρὸς ταῦθ' ὅρα μὴ τοὐμὸν, ἀλλὰ καὶ τὸ σόν.
ὡς, εἴ με πημανεῖς τι, βουλήσει ποτὲ
καὶ δειλὸς εἶναι μᾶλλον ἢ 'ν ἐμοὶ θρασύς.
ΧΟ. ἄναξ Ὀδυσσεῦ, καιρὸν ἴσθ' ἐληλυθώς,
εἰ μὴ ξυνάψων ἀλλὰ συλλύσων πάρει.

ΟΔΥΣΣΕΥΣ.

τί δ' ἐστὶν, ἄνδρες; τηλόθεν γὰρ ᾐσθόμην
βοὴν Ἀτρειδῶν τῷδ' ἐπ' ἀλκίμῳ νεκρῷ.
ΑΓ. οὐ γὰρ κλύοντές ἐσμεν αἰσχίστους λόγους,
ἄναξ Ὀδυσσεῦ, τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως;
ΟΔ. ποίους; ἐγὼ γὰρ ἀνδρὶ συγγνώμην ἔχω
κλύοντι φλαῦρα συμβαλεῖν ἔπη κακά.
ΑΓ. ἤκουσεν αἰσχρά· δρῶν γὰρ ἦν τοιαῦτά με.
ΟΔ. τί γάρ σ' ἔδρασεν ὥστε καὶ βλάβην ἔχειν;
ΑΓ. οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς
ἄμοιρον, ἀλλὰ πρὸς βίαν θάψειν ἐμοῦ.
ΟΔ. ἔξεστιν οὖν εἰπόντι τἀληθῆ φίλῳ

1309. *συγκειμένους* (*γρ. συνεμπόρους* ab S.) L.

1310. *ὑπερπονουμένῳ* (sic) vulg. Malim *ὕπερ πονουμένῳ*. Cf. tamen O. C. 345. *σφὼ — τἀμὰ δυστήνου κακὰ* (?) | *ὑπερπονεῖτον*.

1312. *ἢ τοῦ σοῦ θ' ὁμαίμονος* mss. *ἢ τοῦ σοῦ ξυναίμονος* Dind. Lege *ἢ σοῦ τοῦ θ' ὁμαίμονος λέγω;*

1316. *καιρὸν*] Opportune. Cf. 34. *καιρὸν* (*καιρῷ*?) *δ' ἐφήκεις*. Eur. Hel. 479. *καιρὸν γὰρ οὐδέν' ἦλθες*. Sed *'ς καιρὸν* corrigendum suspicor. Non enim video quomodo defendi possit accusativus sine praepositione positus. Cf. 1168. *ἐς αὐτὸν καιρὸν οἵδε πλήσιοι | πάρεισιν*. Sic *πρὸς καιρὸν* 38. Ph. 1279. O. R. 325. Tr. 59. et *ἐν καιρῷ* O. C. 809. *καιρὸν ἴσθ' ἐληλυθὼς* mss.

1317. *ξυνάψων — συλλύσων*] Cf. Ant. 40. *τί δ' — ἢ λύουσ' ἂν ἢ 'φάπτουσα προσθείμην πλέον;*

1320. *κλύοντες ἐσμὲν* (sic) L.

1325. *βλάβην* mss. Nonne *μομφήν*?

σοὶ μηδὲν ἧσσον ἢ πάρος ξυνηρετεῖν;
ΑΓ. εἴπ'· ἦ γὰρ οὐκ ἂν εὖ φρονῶν εἴην, ἐπεὶ
φίλον σ' ἐγὼ μέγιστον Ἀργείων νέμω.
ΟΔ. ἄκουέ νυν. τὸν ἄνδρα τόνδε πρὸς θεῶν
μὴ τλῇς ἄθαπτον ὧδ' ἀναλγήτως βαλεῖν·
μηδ' ἡ βία σε μηδαμῶς νικησάτω
τοσόνδε μισεῖν ὥστε τὴν δίκην πατεῖν.
κἀμοὶ γὰρ ἦν ποθ' οὗτος ἔχθιστος στρατοῦ
ἐξ οὗ 'κράτησα τῶν Ἀχιλλείων ὅπλων·
ἀλλ' αὐτὸν ἔμπας ὄντ' ἐγὼ τοιόνδ' ἐμοὶ
οὔ τἂν ἀτιμάσαιμ' ἂν ὥστε μὴ λέγειν
ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων ὅσοι
Τροίαν ἀφικόμεσθα, πλὴν Ἀχιλλέως.
ὥστ' οὐκ ἂν ἐνδίκως γ' ἀτιμάζοιτό σοι·
οὐ γάρ τι τοῦτον, ἀλλὰ τοὺς θεῶν νόμους
φθείροις ἄν. ἄνδρα δ' οὐ δίκαιον, ἢν θάνῃ,
βλάπτειν τὸν ἐσθλὸν, οὐδ' ἐὰν μισῶν κυρῇς.
ΑΓ. σὺ ταῦτ', Ὀδυσσεῦ, τοῦδ' ὑπερμαχεῖς ἐμοί;
ΟΔ. ἔγωγ'· ἐμίσουν δ' ἡνίκ' ἦν μισεῖν καλόν.
ΑΓ. οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή;
ΟΔ. μὴ χαῖρ', Ἀτρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς.

1329. *ξυνηρεμεῖν* (in *ξυνηρετμεῖν* mut. ab S.) L. *ξυνηρετεῖν* Lobeck.

1330. *ἦ γὰρ εἴην οὐκ ἂν εὖ φρονῶν* mss. Corrigendum proculdubio *ἦ γὰρ οὐκ ἂν εὖ φρονῶν εἴην.*

1337. *κράτησα* (sic) L.

1339. *οὐκ ἂν* (*οὐκ ἂν* in *οὔκουν* mutavit m. ant. in L.) *ἀτιμάσαιμ'* L. Lb. *Γ.* aliique pauci. *οὔκουν ἀτιμάσαιμ'* al. *οὐκ ἀντατιμάσαιμ'* Both. Dind. Linw. Lege *οὔ τἂν ἀτιμάσαιμ'*. Et sic Pal. Cf. Aesch. Ag. 331. *οὔτἂν* (*οὐκ ἂν* mss.) *ἑλόντες* —.

1340. *ἕν' ἄνδρ' ἰδεῖν ἄριστον*] Cf. O. R. 1380. O. C. 563. 739. Tr. 460. Ph. 1344. Eur. Her. 8.

1344. Construe *ἄνδρα τὸν ἐσθλὸν* (objectum). Sic 1352. *τὸν ἐσθλὸν ἄνδρα.* *εἰ θάνοι* mss. Quidni *ἣν θάνῃ*? Qu. *ὃς θάνῃ*. Cf. Phil. 1444. Eur. Fr. 734. *ἀρετὴ δὲ, κἂν θάνῃ τις, οὐκ ἀπόλλυται.*

1345. *βλάπτειν*] *πατεῖν* conj. Nauck. *κυρῇς*] Qu. *κυρῇ*, aut *ὃς θάνῃ*.

1348—1369. Genuinus ordo versuum hic turbatus Nauckio videtur.

ΑΓ. τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον.
ΟΔ. ἀλλ' εὖ λέγουσι τοῖς φίλοις τιμὰς νέμειν.
ΑΓ. κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει.
ΟΔ. παῦσαι· κρατεῖς τοι τῶν φίλων ἡσσώμενος.
ΑΓ. μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως.
ΟΔ. ἀνὴρ ὅδ' ἐχθρὸς, ἀλλὰ γενναῖός ποτ' ἦν.
ΑΓ. τί ποτε ποιήσεις; ἐχθρὸν ὧδ' αἰδεῖ νέκυν;
ΟΔ. νικᾷ γὰρ ἀρετὴ τὰ τῆς ἔχθρας πολύ.
ΑΓ. τοιόσδε μέντοι πᾶς τις ἔμπληκτος βροτῶν.
ΟΔ. ἦ κάρτα πολλοὶ νῦν φίλοι καὖθις πικροί.
ΑΓ. τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους;
ΟΔ. σκληρὰν ἐπαινεῖν οὐ φιλῶ ψυχὴν ἐγώ.
ΑΓ. ἡμᾶς σὺ δειλοὺς τῇδε θἠμέρᾳ φανεῖς.
ΟΔ. ἄνδρας μὲν οὖν Ἕλλησι πᾶσιν ἐνδίκους.
ΑΓ. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾶν;

1352. *τῶν ἐν τέλει*] Anglice those in authority (in office). Cf. Ant. 67. *τοῖς ἐν τέλει βεβῶσι πείσομαι.* Ph. 385.

1353. *τοι*] Qu. *πρὸς* —. Cf. Fr. 671, 4. *πρὸς τοῦ παρόντος ἱμέρου νικωμένη.* *νικώμενος* mss. *ἡσσώμενος* Aristid. vol. I. p. 792. Herwerden. Solennis constructio est *νικᾶσθαί τινι* (non *τινος*). Sic Eur. Hipp. 458. *ξυμφορᾷ νικώμενοι.*

1355. *ὅδ' ἐχθρὸς ἀνὴρ* mss. Nonne *ἀνὴρ ὅδ' ἐχθρός?*

1357. *νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πολύ* mss. Qu. *νικᾷ γὰρ ἀρετή με τῆς ἔχθρας πλέον,* aut *νικᾷ γὰρ ἀρετὴ τὰ τῆς ἔχθρας πολύ.* Cf. Aesch. Cho. 1052. *ἴσχε μὴ φοβοῦ νικῶν πολύ.* Thuc. 7, 34. *ἐνόμιζον ἡττᾶσθαι ὅτι οὐ πολὺ ἐνίκων.* Arist. Nub. 1335. *τουτὶ σὺ νικήσεις; ΦΕ. πολύ γε καὶ ῥᾳδίως.*

1358. *τοιοίδε μέντοι φῶτες ἔμπληκτοι βροτῶν* mss. *τοιοίδε μέντοι πάντες ἔμπληκτοι βροτοὶ,* aut potius *τοιόσδε μέντοι πᾶς τις ἔμπληκτος βροτῶν.* Cf. El. 984. *τοιαῦτά τοι νὼ πᾶς τις ἐξερεῖ βροτῶν.* O. C. 15. *πᾶς γάρ τις ηὔδα τοῦτό γ' ἡμὶν ἐμπόρων.* 279. *βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν.* Similis fere corruptela invasit O. C. 281. Causa corruptelae fuit similitudo litterarum.

1360. *ἐπαινεῖς*] Suades. I. q. *παραινεῖς.* Frustra Nauckio suspectum. Cf. Ant. 1102. *καὶ ταῦτ' ἐπαινεῖς — παρεικαθεῖν;* O. C. 665. *θαρσεῖν ἐπαινῶ.* El. 1322. *σιγᾶν ἐπῄνεσα.*

1362. *τῇδέ θ' ἡμέρᾳ* mss. *τῇδ' ἐν ἡμέρᾳ* Lobeck.

1363. *Ἕλλησι*] Cf. 1232. *ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα;*

ΟΔ. ἔγωγε· καὶ γὰρ αὐτὸς ἐνθάδ' ἵξομαι.
ΑΓ. ἦ πάνθ' ὅμοια, πᾶς ἀνὴρ αὑτῷ πονεῖ.
ΟΔ. τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν;
ΑΓ. σὸν τἄρα τοὔργον, οὐκ ἐμὸν, κεκλήσεται.
ΟΔ. ὡς ἂν ποιήσῃς, πανταχῇ χρηστός γ' ἔσει.
ΑΓ. ἀλλ' εὖ γε μέντοι τοῦτ' ἐπίστασ', ὡς ἐγὼ
σοὶ μὲν νέμοιμ' ἂν τῆσδε καὶ μείζω χάριν,
οὗτος δὲ κἀκεῖ κἀνθάδ' ὢν ἔμοιγ' ὁμῶς
ἔχθιστος ἔσται. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρῇς.
ΧΟ. ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν
φῦναι τοιοῦτον ὄντα μῶρός ἐστ' ἀνήρ.
ΟΔ. καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,
ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.
καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,
καὶ ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν ὅσα
χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.
ΤΕΥ. ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι
λόγοισι, καί μ' ἔψευσας ἐλπίδος πολύ.

1366—1369. Hos versus spurios habet Morstadt.

1366. *ὁμοῖα* L. m. rec. *ὅμοια* pr.

1368. *σὸν ἄρα* (*ἄρα* L.) mss. *σὸν τἄρα* recte Elmsl.

1369. *ὡς ἂν ποιήσῃς* mss. Qu. *ἅσσ' ἂν ποιήσῃς*. *πανταχῇ*] *πανταχῆ* L. Anglice in any case, anyhow. Cf. Aesch. Eum. 469. *πράξας γὰρ ἐν σοὶ πανταχῇ τάδ' αἰνέσω*. 33. *μαντεύομαι γὰρ ὡς ἂν ἡγῆται θεός*. et *ὅπως ἂν* Eur. Med. 331. Tro. 1052. *χρηστός γ' ἔσει* (*γ'* om. L. pr. addidit m. ant. et *ἔσῃ*) mss. Corrigendum, ni fallor, *χρηστὸς φανεῖ*.

1372. *ὁμῶς* L. corr. m. rec. *ὅμως* pr.

1373. *χρή* mss. *χρῇς* Dind. I. q. *χρῄζεις*. Cf. Ant. 887. El. 606. Cratin. 127, 2. *πάρα δ' ἀλλ' ὅ τι χρῇς*.

1374. *γνώμῃ σοφὸν*] Qu. *γνώμην σοφόν*. Cf. Ph. 910. *κακὸς γνώμην ἔφυν*. El. 546. *κακοῦ γνώμην*. 1021. O. R. 687. *ἀγαθὸς ὢν γνώμην ἀνήρ*. Sed supra 964. *οἱ γὰρ κακοὶ γνώμαισι* (metri cansa).

1379. *ὅσον* (*ωι* sup. a m. ant.) L. *ὅσον* (*ω* sup. in uno) cet. *ὅσων* Pors. Elmsl. Dedi *ὅσα*.

1382. *λόγοισι*] Propter verba tua. Suspectum Nauckio. Qu. *λόγοις, ἐπεί μ' ἔψευσας* —.

τούτῳ γὰρ ὢν ἔχθιστος Ἀργείων ἀνὴρ
μόνος παρέστης χερσὶν, οὐδ' ἔτλης παρὼν
θανόντι τῷδε ζῶν ἐφυβρίσαι τινά.
ὡς ὁ στρατηγὸς οὑπιβρόντητος μολὼν
αὐτός τε χὠ ξύναιμος ἠθελησάτην
λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ.
τοιγάρ σφ' Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ
μνήμων τ' Ἐρινὺς καὶ τελεσφόρος Δίκη
κακοὺς κακῶς φθείρειαν, ὥσπερ ἤθελον
τόνδ' ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως.
σὲ δ', ὦ γεραιοῦ σπέρμα Λαέρτου πατρὸς,
τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾶν,
μὴ τῷ θανόντι τοῦτο δυσχερὲς ποιῶ·
τὰ δ' ἄλλα καὶ ξύμπρασσε, κεἴ τινα στρατοῦ
θέλεις κομίζειν (σφ'), οὐδὲν ἄλγος ἕξομεν·
ἐγὼ δὲ τἄλλα πάντα πορσυνῶ. σὺ δὲ
ἀνὴρ καθ' ἡμᾶς ἐσθλὸς ὢν ἐπίστασο.

ΟΔ. ἀλλ' ἤθελον μέν· εἰ δὲ μὴ 'στί σοι φίλον,
πράσσειν τάδ' ἡμᾶς, εἶμ' ἐπαινέσας τὸ σόν.

ΤΕ. ἅλις· ἤδη γὰρ πολὺς ἐκτέταται
χρόνος. ἀλλ' οἱ μὲν κοίλην κάπετον
χερσὶ ταχύνατε, τοὶ δ' ὑψίβατον
τρίποδ' ἀμφίπυρον λουτρῶν ὁσίων
θέσθ' ἐπίκαιρον·

1385. ζῶν mss. ζῶντ' Naber. μέγα mss. τινά Naber.
1395. ποιῶ (ι erasum) L.
1397. Correxi κομίζειν (σφ').
1403—1408. Ab interpolatore additos esse putat Nauck.

1403. *κοίλην κάπετον χερσὶ ταχύνατε*] Cf. 1164. *ταχύνας | σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν | τῷδ'.*

1404. *χερσὶ ταχύνατε* mss. Qu. *χερσὶν ὀρύσσετε* (aut *ὀρύξατε*). Schol. *μετὰ σπουδῆς ὀρύξατε.* *ταχύνατε* pauci mss. Dind. *ταχύνετε* L. aliique. Qu. *χερσὶν ἑτοιμάσαθ', οἱ δ' —.* Parum enim eleganter *τοι* post *οἱ* infertur. Cf. tamen 1164. *ταχύνας | σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν.*

1406. *λουτρῶν — ἐπίκαιρον*] Idoneum lavacro post Musgravium explicat Dind. Cf. O. R. 875. *ἃ μὴ 'πίκαιρα μηδὲ συμφέροντα.*

μία δ' ἐκ κλισίας ἀνδρῶν ἴλη
τὸν ὑπασπίδιον κόσμον φερέτω.
παῖ, σὺ δὲ πατρός γ' ὅσον ἰσχύεις
φιλότητι θιγὼν πλευρὰς σὺν ἐμοὶ
τάσδ' ἐπικούφιζ'· ἔτι γὰρ θερμαὶ
σύριγγες ἄνω 'κφυσῶσι μέλαν
μένος. ἀλλ' ἄγε πᾶς φίλος ὅστις ἀνηρ
φησὶ παρεῖναι σούσθω, βάτω,
τῷδ' ἀνδρὶ πονῶν τῷ πάντ' ἀγαθῷ
κοὐδενὸς οὐ λῴονι θνητῶν.
[Αἴαντος, ὅτ' ἦν, τότε φωνῶ.]
ΧΟ. *ἦ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσι*
γνῶναι· πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις
τῶν μελλόντων ὅ τι πράξει.

1409. *γ'*] Dindorfio suspectum, qui sic transposuerit, *παῖ, σὺ δὲ πατρὸς* | *φιλότητι θιγὼν* | *ὅσον ἰσχύεις.* Recte, opinor.

1412. *ἄνω φυσῶσι* mss. Qu. *ἄνω 'κφυσῶσι.*

1416. *κοὐδενί τω λῴονι θνητῶν* mss. Lege *κοὐδενὸς οὐ λῴονι θνητῶν.* Cf. Plat. Prot. 317 C. *οὐδενὸς οὐ* (i. e. *πάντων*) *ἂν — εἴην.*

1417. Hunc versum delet Dind.

1418 sq. Haec fabula, ut Oedipus Coloneus, Electra, et Philoctetes, tribus versibus anapaesticis dimetris terminatur.

1418. *ἰδοῦσιν* mss. et vulg.

ADDENDA.

ΑΙΑΣ] Latine AJAX. Similiter *ΣΥΦΑΣ* SYPHAS.

8. Wolffius *εὔρινος* recte genitivum habet. Schol. *εὐοσφρήτου*. Cf. v. *κελαινόρις* Fr. 27. Aesch. Ag. 1155. Eum. 246. Lucr. I. 460.

9. *ἔνδον — τυγχάνει*] Subaudiendum *ὤν*. Cf. El. 46. Eur. Andr. 1116. *τυγχάνει δ' ἐν ἐμπύροις*. Iph. A. 730. *ἡμᾶς δὲ ποῦ χρὴ τηνικαῦτα τυγχάνειν;*

19. *βάσιν κυκλοῦντ'*] Cf. Eur. Or. 631. Arist. Av. 1379. *πόδα — κυκλεῖς*.

30. *πηδῶντα πεδία*] Cf. Eur. Hel. 598. *πλανηθῆναι χθόνα*.

32. Cf. O. R. 109. *ἴχνος παλαιᾶς δυστέκμαρτον αἰτίας*. Cf. 234. *δεσμῶτιν ἄγων ἤλυθε ποίμνην· | ὧν τὰ μὲν εἴσω σφάζ' ἐπὶ γαίας, | τὰ δὲ — ἀνερρήγνυ*.

35. *τά τ' εἰσέπειτα*] Et postea, i. e. nunc.

40. *ἦξεν χέρα*] Cf. Eur. Iph. T. 362. *ὅσας χεῖρας ἐξηκόντισα*. Bacch. 665. *κῶλον ἐξηκόντισαν*.

42. Cf. Tr. 339. *τί δ' ἐστὶ τοῦ (ἐστὶν ὅτι?) με τήνδ' ἐφίστασαι βάσιν;* Similiter Eur. Phoen. 300. *γονυπετεῖς ἕδρας σε προσπίτνω*.

46. *ποίαισι τόλμαις ταῖσδε —;*] Sic Phil. 1204. *ποῖον ἐρεῖς τόδ' ἔπος;* 572. 1173.

51. Corrigendum existimabam *ἐγώ σφ' ἀπεῖρξ' ἀποστρόφοις ἐπ' ὄμμασι* (aut *ἐπ' ὄμμασιν διαστρόφοις*) | *κνέφας βαλοῦσα*. Cf. 69. *ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους | αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν*. 447. *κεἰ μὴ τό τ' ὄμμα χαὶ φρένες διάστροφοι | γνώμης (μ') ἀπεῖρξαν τῆς ἐμῆς, οὐκ ἄν ποτ' κτλ.* 451. *ἤδη μ' ἐπ' αὐτοὺς χεῖρ' ἐπευθύνοντ' ἐμὴν | ἔσφηλεν ἐμβαλοῦσα λυσσώδη νόσον, | ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς*. Sed non temere sollicitandum est *δυσφόρους* (?) *γνώμας* (hallucinationes, *λυσσώδη νόσον* 452). Cf. Arist. Nub. 729. *οἴμοι· τίς ἄν δῆτ' ἐπιβάλοι | ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα;* Lobeckius apponit Eur. Hel. 575. *ἡ γὰρ φρονῶ μὲν εὖ, τὸ δ' ὄμμα μου νοσεῖ; δυσφόρους*] Schol. *παραφόρους*, quod fortasse reponendum. *Παράφορος γνώμης* est Hippocrat. Prorrh. 70. *ξυνέσεως* Plat. Soph. 228 D.

52. Tentabam *λεπίδας*. V. Act. Apost. IX. 18. *καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα.* Aut *δνόφους* (Cho. 51. *ἀνήλιοι — δνόφοι καλύπτουσι δόμους*). Aut *νεφέλας*. *τῆς*] Nonne *τῆσδ'*?

55. *πολύκερων φόνον*] Cf. Phil. 714. *οἰνοχύτου πώματος*. Eur. Herc. 1272. *τετρασκελῆ ... πόλεμον*.

57. *ἑλὼν* etiam Morstadt.

58. Ausus sum dare *ὅτε δ' ἄλλοτ' ἄλλον*, nam *ὅτε* per se (sine *δὲ*) non magis aliis temporibus significare potest quam *ὁ* (sine *δὲ*) alius.

59. *μανιάσιν*] Qu. *μαινάσιν*. Cf. Fr. 678, 4. *λύσσα μαινάς* (*μανιάς* Pors.).

68. Nonnulli (Schaef. Lob. Wund.) connectunt *μίμνε τὸν ἄνδρα*.

70. *αὐγὰς*] Fulgorem. Cf. Ph. 1199. *βροντᾶς αὐγαῖς*.

71. *οὗτος, σὲ — προσμολεῖν καλῶ*] Cf. 1047. *οὗτος, σὲ φωνῶ τόνδε — μὴ συγκομίζειν*.

73. *δωμάτων*] I. e. *σκηνῆς*. Cf. 63. 65. 80.

80. Correctio *τόνδ' ἔσω δόμων μένειν* probabilis videtur. Sic Aesch. Sept. 215. *σὸν δ' αὖ τὸ μένειν εἴσω δόμων*. Eur. Cycl. 679. *μένουσ' εἴσω δόμων*. Her. 477. *εἴσω θ' ἥσυχον μένειν δόμων*.

89. *Αἴας* L. et al. *Αἴαν* al. et Suidas in *ὦ οὗτος*.

91. *ὦ χαῖρ' Ἀθάνα*] Cf. El. 666. *ὦ χαῖρ' ἄνασσα*. Eur. Or. 476. *ὦ χαῖρε πρέσβυ*. Arist. Ach. 872. Eq. 1254.

96. Cf. Plat. Men. 89 D. *οὐκ ἀνατίθεμαι μὴ οὐ καλῶς λέγεσθαι*. Aeschin. I. 136. *οὔτ' αὐτὸς ἐξαρνοῦμαι μὴ οὐ* (*οὐ* om. al.) *γεγονέναι ἐρωτικός*. 19, 14. *μάχας οὐκ ἀρνοῦμαι μὴ οὐχὶ* (*οὐχὶ* om. al.) *συμβεβηκέναι μοι*. Lucian. Tox. 17. *οὐδ' αὐτὸν ἔξαρνον ὄντα μὴ οὐχὶ πεφονευκέναι*. Sed. ibid. *τὰ δὲ ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον ὃν —*. et ad Ant. 443. Tr. 90. Adde Herod. III. 99. *ὁ δὲ ἄπαρνός ἐστι μὴ νοσέειν*. Plat. Gorg. p. 461 C. *τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ ἐπίστασθαι τὰ δίκαια*. Dem. p. 392. *οὐδ' ἄρνησίς ἐστιν αὐτοῖς τὸ μὴ* (lege *τὸ μὴ οὐ*) *ταῦθ' ὑπὲρ Φιλίππου πράττειν*. V. Suid. v. *μὴ οὐχί*.

97. Cf. 453. *ὥστ' ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς*.

98. *οἶδ' ἀτιμάσουσ'*] Qu. *ἐξατιμάσουσ'* (O. C. 1378.) *ἔτι*.

104. *ἔγωγ'· Ὀδυσσῆ* — Nauck. Jebb. *ἔγωγ' Ὀδυσσέα* Seyf. Wolff. (Cf. Arist. Nub. 639.) Adde Arist. Nub. 770. *τὴν ὕαλον λέγεις;* | *ΣΤ. ἔγωγε*. 826. *ὤμοσας νυνὶ Δία;* | *ΦΕ. ἔγωγε*. 826.

108. *δεθεὶς πρὸς κίον'*] Paullo aliter v. 240. *ἄνω κίονι* (*ἄνω 'ς κίονα*?) *δήσας*. Cf. Plaut. Bacch. IV. 6. 24. 'Abducite hunc intro atque astringe ad columnam fortiter.'

110. Cf. Eur. Hec. 149. *φοινισσομέναν αἵματι.* Hes. Scut. 194. *αἵματι φοινικόεις.*

126. Cf. Hor. Od. IV. 7. 16. 'Pulvis et umbra sumus'. Anacr. IV. 9. *ὀλίγη δὲ κεισόμεσθα | κόνις ὀστέων λυθέντων.* Theogn. 1068.

136. Exspectabas potius *εὖ μὲν πράσσοντά σε χαίρω —, ὅταν δέ σε* etc.

137. Qu. *πληγὴ ('κ) Διός.* Cf. 279. *δέδοικα μὴ 'κ θεοῦ | πληγή τις ἥκῃ.* Sed Aesch. Ag. 367. *Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν.*

150. *σφόδρα*] Rarum vocabulum in Tragoedia. Cf. El. 1053. *περὶ γὰρ σοῦ —*] Qu. *περὶ σοῦ γὰρ —.*

151. *εὔπιστα*] Vera scriptura mihi videtur *εὔπειστα.* Cf. ad Sept. 875. *φίλων ἄπιστοι* (*ἄπειστοι* Weckl.). Suppl. 277. *ἄπιστα* (*ἄπειστα* Med.). *νῦν*] Qu. *γ' οὖν.*

152. Construe *χαίρει τοῖς σοῖς ἄχεσιν.* Cf. Virg. Aen. IV. 175. 'mobilitate viget viresque acquirit eundo'.

154. *τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς* mss. Sic apud Homerum *τιτύσκεσθαί τινος, τοξεύειν, ἀκοντίζειν,* etc. Qu. *τῶν μὲν μεγάλων γὰρ ψόγον ἱεὶς —,* aut *κατὰ μὲν γὰρ τῶν μεγάλων ἱεὶς —.* Offendit *ψυχῶν.* Utique post *ἱεὶς* requiritur nomen aliquod.

155. Cf. Herod. VII. 139. *νῦν δὲ Ἀθηναίους ἄν τις λέγων σωτῆρας γενέσθαι τῆς Ἑλλάδος οὐκ ἂν ἁμάρτοι.*

157. Cf. Fr. trag. adesp. 462. *πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιβάζεται* (*βιάζ.*? aut *τιτύσκ.*?). 443. *ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον.* Qu. *πρὸς τὸν προὔχονθ' ὁ φθόνος ἕρπει.* Versus fortasse interpolatus. *τὸν ἔχονθ'*] Cf. Arist. Pl. 596. *τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας.* Corrigendum fortasse *τὸν μέγαν,* quum non de divitibus sed de magnis viris agatur.

166. *ἀπαλέξασθαι* occurrit Fr. 286. Schol. *ἀντιτάξασθαι.*

167. Qu. *ἄλλοτε γὰρ δή, σὸν ὅτ' ὄμμ' ἀπέδραν, | παταγοῦσιν ἅπερ πτηνῶν ἀγέλαι· | μέγαν αἰγυπιὸν δ'* etc.

169. *ὑποδείσαντες*] Cf. Arist. Av. 65. *ὑποδεδιώς.*

170. *τάχ' ἂν ἐξαίφνης, εἰ —* Herm. Schn. Nauck. Wolff. Jebb. *τάχ' ἄν, ἐξαίφνης εἰ —* vulg. Lob. Dind. Wund. Bergk. Recte, opinor. Graecorum trepidatio propter subitam Ajacis irruptionem fieret.

172. *ἦ ῥα*] Cf. 954. Aesch. Pers. 636. *ἦ ῥ' ἀΐει* (mel.). Qu. *Ταυροπόλος.* Cf. Eur. Iph. T. 1456. *Ἄρτεμιν δέ νιν βροτοὶ | τὸ λοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν* (*ἀεί*?). Arist. Lys. 447. *νὴ τὴν Ταυροπόλον.*

173. *ὦ μεγάλα φάτις*] *ὦ μελέα —* frustra Nauck. et F. W. Schmidt. Cf. 222. *ὁ μέγας μῦθος.* *ἔχω*] Qu. *νέμω.* Cf. ad Aj. 1016.

176. Malim ἀκαρπώτου. Vulgatam tuetur Dind. coll. Iph. T. 566. κακῆς γυναικὸς χάριν ἄχαριν.

179. εἴ τιν'] Qu. πού τιν'.

183. Similiter Prom. 883. ἔξω δὲ δρόμου φέρομαι λύσσης | πνεύματι μάργῳ. "Ennius Annal. 208. 'quo vobis mentes, rectae quae stare solebant | antehac, dementes sese flexere viai'?" (Schn.) φρενόθεν] Ut κηρόθεν, ψυχόθεν.

189. Qu. ἢ Λαρτίου παῖς Σισυφίδας γενεάν.

190. ἢ τᾶς —] Qu. χὠκ τᾶς —. Cf. 636. ἐκ πατρῴας ἥκων γενεᾶς —.

191. μὴ μή μ', ἄναξ] Qu. μὴ 'μοί γ', ἄναξ. Elidi enim nequit diphthongus in μοι.

192. ὄμμ' ἔχων] Scholiasta per κρυπτόμενος explicat, quod conjecturam meam ἐμμένων confirmat. Cf. Eur. Fr. 362, 12. ἀδίκως δὲ μὴ κτῶ κτήματ' (χρήματ'?), ἣν βούλῃ πολὺν | χρόνον μελάθροις ἐμμένειν (σφ' ἐμμ'?). Qu. μὴ τήνδ', ἄναξ, ἕδραν ἐφάλοις κλισίαις (aut ἐφάλου κλισίας) | ὧδ' ἔχων. (Tr. 1153. Τίρυνθι — ἔχειν ἕδραν.)

194. μακραίωνι στηρίζει ποτὶ τᾷδ' ἀγωνίῳ σχολᾷ] Huic prolixae certaminis cessationi affixus es. Ita etiam Pal. Alii cum scholiasta (τῷ ἀγῶνα ἐμποιοῦντι) minus probabiliter τᾷδ' ἀγωνίῳ σχολᾷ explicant huic otio sollicito. Qu. στηρίζει ποτὶ γᾶν, 'art fixed to the earth'. Pro ἀγωνίῳ σχολᾷ qu. ἔχων μέγαν χόλον, aut ἄγων ἀεὶ σχολάν. μακραίωνι] μακραίων Wund. Hart. Nev.

195. στηρίζει] Figeris, immotus sedes. Cf. Eur. Hipp. 1207. εἴδομεν κῦμ' οὐρανῷ στηρίζον. Bacch. 972. ὥστ' οὐρανῷ στηρίζον εὑρήσεις κλέος. 1084. πρὸς οὐρανὸν | καὶ γαῖαν ἐστήριζε φῶς σεμνοῦ πυρός. 1074. ὀρθὴ δ' ἐς ὀρθὸν (f. ἱερὸν?) αἰθέρ' ἐστηρίζετο. ποτὲ mss. ποτὶ Ritschel. probant Wund. et Dind. in Lex. p. 415.

196. ἄταν οὐρανίαν φλέγων] Malum tuum usque ad coelum (i. e. magnopere inflammans (accendens, augens). Cf. Aesch. Pers. 579. et Sept. 509. Pers. 401. ἐχθρῶν ὕβρις δ' conj. Dind.

197. ἀτάρβητος ὁρμᾷ πῦρ Herwerden, coll. Hom. Il. 14, 396. Utique apprime hic convenit πῦρ.

199. καχαζόντων γλώσσαις mss. Qu. κακιζόντων γλώσσαις, aut κάχ' ('convicia') ἱέντων γλώσσαις. Cf. El. 596. ἢ πᾶσαν ἵης γλῶσσαν etc. Tr. 281. ὑπερχλιδῶντες ἐκ γλώσσης κακῆς. Phil. 1142. μὴ φθονερὰν ἐξῶσαι γλῶσσαν. Ant. 962. ψαύων τὸν θεὸν ἐν κερτομίαις γλώσσαις. 127. μεγάλης γλώσσης κόμπους. Fr. 668. πολλὴν γλῶσσαν ἐκχέας μάτην. Aj. 1142. ἄνδρα γλώσσῃ θρασύν.

200. *βαρυάλγητ'*] Cf. *ἀναλγήτως* ('in an unfeeling manner'). 1333. Unde hic *γλώσσαισιν ἀναλγήτως* fortasse reponendum esse conjicias. *Δυσάλγητος* ('hard-hearted') legitur O. R. 12. Schneidewin *βαρυάλγητα* adverbialiter accipit, ut *ὑπέροπτα* O. R. 883.

202. *γενεᾶς*] *γενεὰ* Morstadt. Qu. *γενέθλα* —, Cf. El. 129. *ὦ γενέθλα γενναίων*. 226. *ὦ φιλία γενέθλα*.

205. Quum ad Homeri locum (Il. 3, 227.), ubi *μέγας, εὐρέας ὤμους ἔχων*, et *ἔξοχος Ἀργείων κεφαλὴν ἠδ' εὐρέας ὤμους* (Anglice head and shoulders) describitur Ajax, respiciatur, vix dubitari potest quin hic *ὠμοκρατής* strong-shouldered, broad-shouldered significet. Cum *ὠμοκρατής* cf. *αὐτοκρατής, παγκρατής, ναυκρατής (ναυκράτης)*, et nomina propria *Ἰσοκράτης, Σωκράτης. Ξενοκράτης*. Non enim ad animi indolem sed ad corporis formam Ajacis respicitur, ut ostendunt etiam quae sequuntur *θολερῷ κεῖται χειμῶνι νοσήσας*. Alii (ut Pal.) *ὠμοκρατὴς* reddunt 'stern in command'. Cf. 548. *ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς | δεῖ πωλοδαμνεῖν*. 885. *τὸν ὠμόθυμον — Αἴαντα*. 930. *ὠμόφρων*. Sed scripserat fortasse *ὠμοπλατής*. Cf. 1250. *οὐ γὰρ οἱ πλατεῖς | οὐδ'* (*οἵ τ'*?) *εὐρύνωτοι φῶτες ἀσφαλέστατοι*. Qu. *καὶ μέγας ὤμους*. (Cf. 1077. *κἂν* (*κῆν*) *σῶμα γεννήσῃ μέγα*. Arist. Nub. 1013. *ἕξεις — ὤμους μεγάλους*.) Aut *καὶ μέγας Αἴας | ἀκρατὴς θολερῷ* —.

206. *θολερῷ — χειμῶνι*] Turbida tempestate. Schol. *ἐν ταραχώδει ζάλῃ, ὅ ἐστι μανίᾳ*. Cf. Ph. 1460. *χειμαζομένῳ*. *χειμῶνι νοσήσας*] Cf. Phil. 1194. *ἀλύοντα χειμερίῳ λύπᾳ*.

208. *τί δ' ἐνήλλακται — βάρος;*] I. e. *τίνα βαρεῖαν ἀλλαγὴν νὺξ ἥδε ἐνήλλακται;* Oppositio non inter noctem et diem sed inter calamitosum et quietum rerum statum fit. Itaque conjecturam *ἠρεμίας*, quamvis non absolute certam recepi. *ἠρεμίας* etiam Schneid. (Dem. p. 168, 16. *ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ ἠρεμίας* (sic Y. et γρ. F. *ἐρημίας* vulg.) *ὑμῶν ὁ Μυτιληναίων δῆμος καταλέλυται*. Arist. Eth. II. 2. 5. *διὸ καὶ ὁρίζονται τὰς ἀρετὰς ἀπαθείας τινὰς καὶ ἠρεμίας*.) *εὐμαρίας* Nauck. Wolff. Confer *εὐγενία, εὐσεβία*, etc. Schol. — *ὥστε ἀλλοῖος γενέσθαι πρόσθεν ἢ* (*ἢ πρόσθεν*?) *κατὰ τὴν ἡμέραν;*

210. *Φρυγίου* mss. *Φρυγίοιο* Jaeger. Nauck. *σὺ Τελεύταντος* Porson. *Τελλεύταντος* Br.

212. *λέχος — ἀνέχει*] Gl. *τιμᾷ*. Cf. Eur. Hec. 123. *τῆς μαντιπόλου βάκχας ἀνέχων λέκτρ' Ἀγαμέμνων*.

217. *νύκτερος*] I. e. *νυκτός*. Sic *ὄρθριος*, etc.

221. *ἐδήλωσας ἀνδρὸς* mss. Dind. *ἐδήλωσας ἀνέρος* Herm. Nauck. Seyf. *ἔδειξας ἀνέρος* Wund.

222. *ὁ μέγας μῦθος*] Cf. 173. *ὦ μεγάλα φάτις*.

223. *ἄτλατον οὐδὲ φερτὰν*] Similiter Ph. 2. *βροτοῖς ἄστειπτος οὐδ' οἰκουμένη.*

224. *τῶν μεγάλων Δαναῶν*] Hoc Dindorfius de ducibus exercitus Graeci accipit. Latet proculdubio vitium. Qu. *τῶν μεγάλων βασιλέων* (⏑⏑–?). Cf. 189. *εἰ δ' ὑποβαλλόμενοι κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς, κτλ.*

229. *παραπλήκτῳ* mss. Lege *παραπλάκτῳ.*

231. *κελαινοῖς ξίφεσιν*] Cf. Hesiod. Op. 150. *χαλκῷ δ' εἰργάζοντο, μέλας δ' οὐκ ἔσκε σίδηρος.* Il. 23, 850. *ἰόεντα σίδηρον.*

235. *τὴν μὲν ἔσω* mss. Lege *τὰ μὲν εἴσω.*

237. *ἀνελὼν*] Hoc praecedenti *ἐπὶ γαίας* ('on the ground' 237). opponitur. "Already in his first onslaught he believed himself to have slain them (57), but a madman would not remember this." (Jebb.)

239. *ῥιπτεῖ* vulg. Wund. *ῥίπτει* al. Qu. *ῥίπτει 'κθερίσας.* Cf. Anacreont. XII. *τὴν γλῶσσαν ἐκθερίξω.* *ὀρθὸν*] Anglice upright, erect (tanquam hominem). *ἄνω κίονι δήσας*] Qu. *πρὸς κίονι δήσας,* aut *ἄνω 'ς κίονα δήσας.* Paullo aliter 108. *δεθεὶς πρὸς κίονα.*

245. Qu. *ὥρα τιν' ἤδη 'στὶν | κρᾶτα —.* *ποδοῖν κλοπὰν ἀρέσθαι*] Cf. O. R. 468. *φυγᾷ πόδα νωμᾶν.* Eur. Rhes. 54. *φυγὰν ἀρέσθαι.* Or. 1428. *δραπέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.*

250. *μεθεῖναι*] Anglice to weigh anchor. Proprie to let go. *συθῆναι* Herwerden, coll. Aesch. Prom. 135. *σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.* Cf. Plat. Prot. 337 E. *οὐρίᾳ ἐφέντα* (sc. *ἑαυτὸν*) *φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων.*

251. *ἐρέσσουσιν*] Fortasse nil mutandum: ut nautae enim nautica locutione utuntur Chorentae. Qu. *ἐρείδουσιν.* Cf. Arist. Eq. 627. *ἐλασίβροντ' ἀναρρηγνὺς ἔπη | τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων.* Ran. 914.

254. *λιθόλευστον ἄρη*] Cf. Ant. 36. *φόνον δημόλευστον.* Constructio, quae non valde clara est, haec videtur esse *πεφόβημαι λιθόλευστον ἄρη* (*ὥστε*) *ξυναλγεῖν* etc.

255. *ξυναλγεῖν*] I. e. *ὥστε ξυναλγεῖν.* Cf. Eur. Rhes. 807. *συναλγεῖ σοῖς κακοῖς.*

257. *λαμπρᾶς — ἄτερ στεροπῆς*] Anglice 'when unaccompanied with storm', ut recte explicat Mitchell. *λαμπρᾶς*] Fort. *λαμπρός.* Cf. Aesch. Ag. 1151. *λαμπρὸς πνέων ὁ χρησμός.* Sed apte dicitur *λαμπρὰ στεροπή.* Tr. 99. *ὦ λαμπρᾷ στεροπᾷ φλεγέθων* (*ἥλιε*). *ᾆξας ὀξὺς νότος ὡς λήγει*] Cf. Theophr. de vent. I. 5. *ὁ μὲν βορέας εὐθὺς ἀρχόμενος μέγας, ὁ δὲ νότος λήγων.* Arist. Probl. 26, 20. *ὁ νότος ἐλάττων ἀρχόμενός ἐστιν, ἐπὶ τέλει δὲ εἴωθε γίγνεσθαι μέγας.* Qu. *λαμπρᾷ γὰρ ἄφαρ* vel *ἅμα*) *στεροπῇ* etc.

262. *ὑποτείνει*] Cf. Dem. p. 172, 24. *τὰς ἐλπίδας ὑμῖν ὑποτείνων.*

264. *τοῦ κακοῦ*] Scribendum videtur *του κακοῦ* 'of any evil'. *μείων λόγος*] *μείων βλάβη* aut *μεῖον βλάβος* conjicit Nauck.

267. Qu. *ἢ κοινὰ σὺν νοσοῦσι* (*φίλοις*) *λυπεῖσθαι ξυνών.* Dolor amicorum conjunctus cum dolore Ajacis dicitur. *κοινοῖσι*] *ξυνοῦσι* requirit Nauck.

268. *τὸ — διπλάζον*] Cf. Diod. Sic. IV. 84. *καρπὸς διπλασιάζων τῶν ἐν ἄλλαις χώραις.* Eur. Suppl. 781. *δορὸς διπλάζεται τιμή.*

269. *ἡμεῖς* mss. *δισσῶς* Kock. coll. 277. *ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά;* "Quum restituta mentis sanitate Ajacis calamitas, quam antea ipse non senserat, duplicetur." (Kock.)

271. *ἦν ἐν τῇ νόσῳ*] Cf. El. 1124. 1329. O. R. 562.

275. Cf. Hom. Il. 16, 518. *ὀξείῃς ὀδύνῃσιν ἐλήλαται.* Eur. Andr. 31. *κακοῖς σχετλίοις ἐλαύνομαι.*

278. *ἐκ θεοῦ πληγή τις ἥκῃ*] Cf. 137. Fr. 656. *θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.*

279. *πεπαυμένος*] Sc. *τῆς νόσου.*

285. *ἄκρας νυκτὸς*] I. e. media nocte. Cf. 291.

290. *τήνδ' — ἀφορμᾷ πεῖραν*] Cf. Aesch. Pers. 719. *πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν* (*ἐφωρμήθη*?) *τάλας;*

292. *ὑμνούμενα*] Cf. Plat. Prot. 343 B. *ταῦτα ἃ δὴ πάντες ὑμνοῦσι, "γνῶθι σαυτὸν" καὶ "μηδὲν ἄγαν".*

297. *ταύρους* mss. Corrigendum, ni fallor, *ποίμνας* aut *πρόβατα*. *Βοῦς* et *ποῖμναι* simul commemorantur supra 62. *εὔκερων* mss. *εὔερον* recte Schneid. Oves enim intelliguntur. Cf. 64. *εὔκερων ἄγραν* (i. e. boves).

298. *ἄνω τρέπων*] I. e. *ὑπτίους.* Anglice turning on their backs, capite resupinato. Cf. 239. 918. 1412.

299. *ἔσφαζε κἀρράχιζε*] Qu. *ἔσφαζεν, ἐρράχιζε.*

302. *λόγους ἀνέσπα*] Cf. Menand. IV. 199. *πόθεν — τούτους ἀνεσπάκασιν οὗτοι τοὺς λόγους;*

303. *συντιθεὶς γέλων πολὺν*] Cf. Dem. p. 778. *ψευδεῖς αἰτίας συντιθείς.* Aesch. Prom. 686. *συνθέτους λόγους.*

304. *ὅσην*] Qu. *ὅπως.* *κατ' αὐτῶν ὕβριν*] Cf. Fr. 337. *ἄρξασι Φρυξὶ τὴν κατ' Ἀργείων ὕβριν.* Requiritur manifesto futuri optativus. Sic Phil. 353. *εἰ τἀπὶ Τροίᾳ πέργαμ' αἱρήσοιμ' ἰών.* Haec ad Atridarum *ὕβριν* spectare videntur. Cf. Phil. 397. *ὅτ' ἐς τόνδ' Ἀτρειδᾶν ὕβρις πᾶσ' ἐχώρει.* Qu. *ὅσην τάχ' αὐτῶν ὕβριν αἰκίσοιτ'* (*αἰκιοῖτ'*) *ἰών.* Cf. 65. *καὶ νῦν κατ' οἴκους συνδέτους σφ' αἰκίζεται.* *ἐκτίσαιτ' ἰών* mss. Qu. *ἐκτίσοιτ' ἰών.* Cf. Arist. Ach. 899. Eq. 154. 475. Eccl.

571. Pl. 318. De *ἰὼν* cum tempore praeterite conjuncto Wolffius conferri jubet Xen. Hell. IV. 4. 5. Eur. Or. 1446.

307. *πλῆρες ἄτης — στέγος*] Cf. Ph. 1087. *ὦ πληρέστατον αὐλίον λύπας* —. Ant. 1052. *νόσου πλήρης*. Fr. 566. *πλήρη μασχαλισμάτων* (*δώματα*?). *στέγος*] Cf. El. 1165. Fr. 742 D.

311. *τὸν μὲν ἧστο πλεῖστον* —] Mira et inaudita verborum collocatio. *ἧστο*] Sedebat. Cf. Tr. 535.

312. *τὰ δείν' — ἔπη*] Anglice those terrible words. Fort. *δείν' ἄσσ'*, sed cf. 650. 1226. Tr. 476. Ph. 327. Ant. 408. Eur. Or. 376. *ὃς τὰ δείν' ἔτλη κακά*. Ph. 185. *ὃς τὰ δείν' ἐφυβρίζει πόλει*. Dion. Cass. 45, 30. *τῆς φωνῆς τὰ δεινὰ ἐκεῖνα λεγούσης*. Arist. Ran. 796. *κἀνταῦθα δὴ τὰ δεινὰ κινηθήσεται*.

319. *βαρυψύχου*] Anglice down-hearted. Cf. v. *βαρυκάρδιος*. *βραχυψύχου* etiam Seyffert, ex schol.: *μικροψύχου*, etc. Cf. *βαρυφροσύνη* (Plut.), *βαρύθυμος*, *βαρυθυμία*, *βαρυθυμεῖσθαι*.

320. *ἐξηγεῖτ'*] Dictitabat, declarabat explicat Lobeck, coll. Aesch. Pr. 214. *τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου*. Ubi *ἐξηγουμένου* significat narrantis (Anglice 'relating, narrating'). Quae interpretatio parum satisfacit. Vix enim bene dicitur aliquis *γόους ἔχειν*. Qu. *ἠγεῖτ' ἐκχέαι* (Eur. Suppl. 773. *ᾆδον τε μολπὰς ἐκχέω δακρυρρόους*). Correctioni *ἠγεῖτο* favet Ph. 108. *οὐκ αἰσχρὸν ἡγεῖ δῆτα τὰ ψευδῆ λέγειν;* 1323. 1442. O. C. 278. 351. Ant. 1167. *Εἶναι* omissum est ut in 581. *οὐ πρὸς ἰατροῦ σοφοῦ | θρηνεῖν* etc. 1071. Qu. *ἦγεν* (aut *ἠγεῖτ'* salvo Porsoni canone) *ἐκχέαι*.

322. Cf. Tr. 1072. *ὥστε παρθένος | βέβρυχε κλαίων*.

326. Cf. Lys. 12, 90. *δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις*.

332. *ἡμῖν*] Cf. 217. *μανίᾳ γὰρ ἁλοὺς ἡμὶν ὁ κλεινὸς | νύκτερος Αἴας ἀπελωβήθη*. *διαπεφοιβάσθαι*] 'Has been demented'. *Ἀφοίβαντος* (*ἀφοίβαστος*?) 'uncleansed' legitur Eum. 228. Qu. *διαπεφοιβάνθαι*? Cf. *φοιβάω*, *φοιβὰς*, *φοιβαστικός*, *φοιβάστρια*. Sed forma *φοιβαίνω* legitur apud Hesychium.

338. *παρών*] Qu. *πάλιν*.

350. *ἐμμένοντες*] Cf. O. R. 351. *ἐννέπω σε τῷ κηρύγματι — ἐμμένειν*.

351. *ἴδεσθέ μ'* —] Pronomen cum *ἴδεσθε* connectendum, non cum *κυκλεῖται* (*κυκλοῦται*?).

355. *ἀφροντίστως* mss. *ἀνηκέστως* conj. Nauck.

357. *ἑλίσσων*] Scholiasta Homericum *νέες ἀμφιέλισσαι* confert. Fort. *ἐρέσσων*.

359. *ἔβας*] 'camest hither'. Cf. 36.

360. Qu. *πημονάν μοι ἀρκέσοντ'.* Fort. *πημονὰν ἔτ' ἀρκέσοντ'* (pro *ἐπαρκέσοντ'*).

362. *κακὸν κακῷ διδοὺς ἄκος*] I. e. *κακὸν κακῷ ἰώμενος.*

363. *τίθει*] Legerim *τιθῇς.* Cf. El. 581. 584.

366. *ἐν ἀφόβοις με θηρσὶ* mss. Lege *ἐν ἀφόβοις δὲ θηρσί.* Pronomen *με*, quod incommodum hic est, a glossemate venisse suspicor. Cf. 1315. *ἢ 'ν ἐμοὶ θρασύς.* 1092. *ἐν θανοῦσιν ὑβριστής.* Oves, bestias cicures, intelligit. *ἀφόβοις*] Passivo sensu. Cf. Aesch. Pr. 921. *ἄφοβος (ὁ γάμος) οὐδὲ δέδια.* Neutro sensu O. C. 1325. *ἄφοβον — στρατόν.*

372. Empedocles 306 (Stein). *εἰσόκε χειρὶ μεθῇ.* De collocatione *μὲν* Wolffius confert Ant. 557. 1297.

379. *πάνθ' ὁρῶν* mss. Nonne *πάντα δρῶν* (i. q. *πανοῦργος*)? *πάνθ' ὁρῶν* epithetum est *Ζηνός*, et aegre ut opprobrium usurpari posset. Cf. El. 615. *ἆρά σοι δοκεῖ | χωρεῖν ἂν εἰς πᾶν ἔργον —;*

381. *κατοπινέστατόν τ' ἄλημα*] Anglice 'and most filthy vagrant'. Ad squalidum Ulyssis vestimentum respicitur quando clanculum in Trojam penetravit. Fort. *κατοπινέστατον λάλημα.* Ulysses *κρότημα* dicitur Fr. 827. *ἄλημα*] Pro *ἀλήτης.* Cf. 389. *ἐχθρὸν ἄλημα.* *'Αλήτης* (erro) legitur 888. O. C. 50. 746. 949. 1096.

382. *γέλωθ'*] *γέλων* unus ms. Quam formam non nisi metri causa usurpari monuit Lobeck. Cf. 958. *γελᾷ τοῦδε μαινομένοις ἄχεσιν πολὺν γέλωτα.* Ant. 551. *εἰ γέλωτ' ἐν σοὶ γελῶ.* *ἄγεις* mss. Lege *γελᾷς.* 384. Qu. *ἴδοιμι (νῦν) νιν.*

391. *τέλος*] Denique. *θάνοιμι καὐτός*] Cf. Aesch. Cho. 430. *ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.*

400. *ὄνησιν* mss. Qu. *ὄνασιν.*

401. *ἁ Διὸς ἀλκίμα θεὸς*] Cf. 450. 952.

404. *μενῶ* mss. Scribendum *μένω.*

405. *τοῖσδ' ὁμοῦ πέλας* mss. *τίσις δ' ὁμοῦ πέλει* conj. Dind., de vindicta exercitus intelligens.

406. Versus corruptus.

408. *δίπαλτος*] Cf. Xen. Cyr. I. 2. 9. *ἔτι δὲ γέρρον καὶ παλτὰ δύο (ἔχειν δεῖ), ὥστε τὸ μὲν ἀφεῖναι, τῷ δ', ἂν δέῃ, ἐκ χειρὸς χρῆσθαι.* Eq. XII. 12. *δύο παλτὰ μᾶλλον ἐπαινοῦμεν.* Cyr. III. 2. 7. *εἶχον δὲ οἱ Χαλδαῖοι γέρρα τε καὶ παλτὰ δύο.*

410. Cf. Dionys. trag. Fr. 10. *οἴμοι, γυναῖκα χρησίμην ἀπώλεσα.*

412. *πόροι ἁλίρροθοι*] Wolffius confert Hom. Od. 12, 259. *πόρους ἁλός.* Pind. N. IV. 53. *πρὸς 'Ιόνιον πόρον.*

413. *νέμος*] Nemus, pascuum nemorosum. Anglice glade. Cf. Hom. Il. 11, 480. *ἐν νέμεϊ σκιερῷ.* Fort. *νάπος.*

418. *Σκαμάνδριοι*] Qu. *Σκαμάνδριαι*.

420. *εὔφρονες Ἀργείοις*] Cf. Thuc. II. 74. *εὐμενῆ ἀγωνίσασθαι τοῖς Ἕλλησιν*.

429. *κακοῖς — συμπεπτωκότα*] Cf. Herod. III. 52. *μιν ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα*.

430. *αἶ αἶ* L. *αἰαῖ* Dind.

431. De futuro *ξυνοίσειν* cf. Ant. 390. *σχολῇ ποθ' ἥξειν δεῦρ' ἂν ἐξηύχουν*.

432. *αἰάζειν*] Cf. Aesch. Ag. 1279. Cho. 321. Sic *οἰμώζειν, ὄζειν, φεύζειν, ἰύζειν*, etc.

433. Qu. *τοιούτοις τοι* (aut *τοῖς* pro *γὰρ*) *κακοῖς*. (Exciderat, opinor, *τοι* aut *τοῖς* post simile *-τοις*, deinde metri sustinendi causa invectum est *γάρ*.) Aut *τοιούτοισιν κακοῖς*.

434. *πατὴρ*] Telamon, qui in priori ad Trojam expeditione Herculis socius fuit et gloriam propter fortitudinem suam adeptus erat. Telamonis virtus laudatur Eurip. Tro. 794. 819. Praemium virtutis ille ab Hercule Laomedontis filiam Hesionem accepit. Diodor. Sic. IV. 32. *ὁ δ' Ἡρακλῆς ἐστεφάνωσε Τελαμῶνα ἀριστείοις, δοὺς αὐτῷ τὴν Λαομέδοντος θυγατέρα Ἡσιόνην*, etc.

435. *τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας*] Anglice 'having won the first prize of beauty', i. e. Hesione. Cf. 1300. *ὅστις στρατοῦ τὰ πρῶτ' ἀριστεύσας* —. Ph. 1429. *ἀριστεῖ' ἐκλαβὼν στρατεύματος*. Verbum *καλλιστεύειν* legitur Herod. 6, 61. *καλλιστεύσει πασέων τῶν γυναικῶν*. 7, 180. 8, 124 et *καλλιστεύεσθαι* (med.) Eur. Med. 947. Bacch. 407. Hipp. 1009. Qu. *τὰ πρῶτα καὶ κάλλιστ' — ἀριστεύσας στρατοῦ* (ut exciderit *καὶ* ante simile *καλ-*, deinde metri fulciendi causa *κάλλιστ'* in *καλλιστεῖ'* mutatum sit), aut *τὰ πρῶτα κἀριστεῖα* (464.) *τοῦ στρατοῦ λαβὼν* (aut *κἀριστεῖ' ἔχων παντὸς στρατοῦ*), aut *Ἑλληνικοῦ τὰ πρῶτ' ἀριστεύσας στρατοῦ*, aut *τὰ πρῶτ' ἀριστεῖ' ἐκλαβὼν παντὸς στρατοῦ* (coll. Ph. 1429. *ἀριστεῖ' ἐκλαβὼν στρατεύματος*). Cum *ἀριστεῖα* et *καλλιστεῖα* confer *πρεσβεῖα* Fr. 19., *τροφεῖα*, etc.

438. *Τροίας*] I. e. *γῆς Τρῳάδος* (regionis Trojanae). "The tradition doubtless was that the army had occupied the site of the same camp in the former expedition. Indeed this is alluded to in Il. 20, 145." (Pal.) Qu. *Τρῳάδος* (cf. 819. *τῇ Τρῳάδι*. 984. Ph. 984.), aut *Τροίαν*. Sed fortasse glossema est *Τροίας* et reponendum *κείνῳ παρελθών*.

439. *ἀρκέσας*] Schol. *δείξας*. Angl. having displayed (shown).

443. *κρίνειν*] Qu. *κρινεῖν*. Cf. ad 1027.

446. *ἔπραξαν*] Wolffius adducit Polyb. IV. 16. 11. *πραττομένης αὐτοῖς τῆς πόλεως*.

447. τόδ' ὄμμα καὶ φρένες mss. Lege τό τ' ὄμμα χαἰ φρένες.

448. γνώμης ἀπῇξαν] Consilium destituerunt. 'Had precluded me from judging rightly.' (Pal.) Cf. 691. ἐγὼ γὰρ ὀμμάτων ἀποστρόφους | αὐγὰς ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν. Lege γνώμης (μ') ἀπεῖρξαν —. Cf. Arist. Nub. 729. οἴμοι, τίς ἂν δῆτ' ἐπιβάλοι | ἐξ ἀρνακίδων γνώμην ἀποστερητρίδα;

449. δίκην — ἐψήφισαν] Cf. Plat. Gorg. 515 E. οὐδεμίαν δίκην κατεψηφίσαντο αὐτοῦ.

450. ἁ Διὸς — ἀδάματος θεὰ] Cf. 401. ἁ Διὸς ἀλκίμα θεός. 952. Ζηνὸς ἡ δεινὴ θεὸς (θεά?) Παλλάς. Qu. ἁ Διὸς ἄλκιμος θεά.

451. ἐπευθύνοντ'] Qu. ἐπεντύνοντ' (Anglice 'getting ready, preparing against them'). Schol. εὐτρεπίζοντα. Si vera lectio est ἐπεντείνοντ', reddendum erit 'dirigentem contra eos'. Cf. Oppian. Hal. v. 562. ἤδη γὰρ δελφῖσιν ἐπεντύνουσιν ἀρῆα.

453. Cf. 97. ἦ καὶ πρὸς Ἀτρείδαισιν ἤμαξας (ἤχμασας mss.) χέρα;

462. πῶς με τλήσεταί ποτ' εἰσιδεῖν —;] Cf. O. R. 1371. Ph. 110. Eur. Iph. A. 445. ποῖον ὄμμα συμβαλῶ;

464. τῶν ἀριστείων] Cf. Ph. 1429. ἀριστεῖ' ἐκλαβὼν στρατεύματος. Aj. 443. εἰ ζῶν Ἀχιλλεὺς — κρίνειν ἔμελλε | κράτος ἀριστείας τινί.

465. ὧν αὐτὸς ἔσχε mss. Cf. Ph. 1192. τῶν πάρος ὧν προύφαινες. Sed corrigendum suspicor ἃ κεῖνος (aut ἅ γ' αὐτὸς) ἔσχε, accusativo στέφανον per appositionem ad ἃ posito. Dindorfius ὧν cum στέφανον εὐκλείας connectit, de duplici genitivo conferens 604. ἔργα χεροῖν μεγίστας ἀρετᾶς. Sed dura haec interpretatio videtur.

στέφανον εὐκλείας] Cf. Eur. Suppl. 325. στέφανον εὐκλείας λαβεῖν.

467. ξυμπεσὼν] ἐμπεσὼν Γ.

472. Qu. μὴ τὴν (pro τοι) φύσιν γ' —.

474. κακοῖσιν — μηδὲν ἐξαλλάσσεται] Nullam malorum cessationem experitur. Mire expressa locutio. Vide num scripserit ὅστις κακῶς ζῶν.

475. ἡμέρα mss. Qu. ἦμαρ ἂν (et ἔχοι pro ἔχει). Cf. Arist. Ran. 643. πληγὴν παρὰ πληγὴν ἑκάτερον (βασανιῶ σφώ).

476. προσθεῖσα κἀναθεῖσα mss. Sensus, ni fallor, requirit προσθεῖσ' ἂν ἢ ἀναθεῖσα. Cf. ad 475. τοῦ γε κατθανεῖν mss. Scribendum videtur πλὴν τὸ (aut γε) κατθανεῖν. Anglice loci hujus sensus hic videtur esse, 'For what pleasure can one day as compared with another afford except by the bringing or postponement of death?' Cf. Plat. Legg. p. 935 E. ἀναθετέον, 'one must defer'. Qu. προσθεῖσα τοιόνδ' ἄνδρα πλήν γε κατθανεῖν.

477. *οὐδενὸς λόγου*] Anglice on any account.

